63 Ἀβουλία: ἀπαιδευσία, ἄνοια. καὶ μωρία. ΣΔ

64 Ἀβούλως: ἀφρόνως, ἀμαθῶς. στίχος· κακῶς, ἀβούλως, ἀφρόνως, Σ
ἄνευ λόγου.

65 Ἀβωνοτειχίτης: ὄνομα κύριον. Δ

66 Ἄβωρα: ὄνομα τόπου. Δ

67 Ἀβωριγῆνες: ἔθνος. Ἀβοριγῖνοι δέ. Δ

68 Ἄβρα: οὔτε ἁπλῶς θεράπαινα οὔτε ἡ εὔμορφος θεράπαινα λέγε- Σ
ται, ἀλλ' οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή.
Μένανδρος Ψευδηρακλεῖ· μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυεῖν
ταύταιν. τρέφει δὲ παλλακή τις τοῦ πατρὸς αὐτὰς, ἄβρα τῆς μητρὸς
αὐτῶν γενομένη. Σικυωνίῳ· καὶ ἄβραν γὰρ ἀντωνούμενος ἐρωμένην,
ταύτῃ μὲν οὐ παρέδωκ' ἔχειν, τρέφειν δὲ χωρὶς, ὡς ἐλευθέρᾳ πρέπει.
Ἀπίστῳ· ᾤμην εἰ τὸ χρυσίον λάβοι ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγο-
ρασμένην ἄβραν ἔσεσθαι. Ἰάμβλιχος· ἐπεὶ δὲ τοῦτο χαλεπὸν ἦν καὶ E
σπάνιόν τι τὸ τῆς οἰκουροῦ φυλαττούσης καὶ ἄβρας τινὸς ἄλλης συμ-
παρούσης, ἀναπείθει τὴν κόρην λαθοῦσαν τοὺς γονεῖς ἀποδρᾶναι.

69 Ἀβραάμ· ὁ πρῶτος ἐν πατριάρχαις· εἰς ὃν ἀπεσεμνύνετο δῆμος ὁ τῶν Ἑβραίων τὸ πρότερον, πρὶν ἢ θεοῦ ἀποσκιρτῆσαι καὶ γενέσθαι τούτου ἀλλότριοι καὶ τὸ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ αἷμα ἐφ' ἑαυτοὺς ἐπισπάσασθαι. οὗτος ἐκ μὲν τῆς Χαλδαίων γῆς ὑπῆρχεν ὁρμώμενος, τῶν περὶ τὰ μετέωρα καὶ τοὺς ἀστέρας τὸν βίον ὅλον καταναλισκόντων. ἀσκηθεὶς οὖν κατὰ τὸν πάτριον νόμον τὰς τῶν ἐπουρανίων ἀστέρων κινήσεις καὶ στοχασάμενος ὡς οὐκ ἐν τούτοις ἵσταται τὸ μεγαλουργὸν τῆς φαινομένης ταυτησὶ κτίσεως, ἀλλ' ἔχει τινὰ τὸν δημιουργὸν τὸν καὶ κινοῦντα καὶ διευθύνοντα τὴν ἐναρμόνιον τῶν ἀστέρων πορείαν καὶ τοῦ κόσμου παντὸς τὴν κατάστασιν, καὶ διὰ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων τὸν γενεσιουργὸν αὐτῶν, ὡς ἐνῆν, θεωρήσας οὐκ ἔστη μέχρι τούτων, οὐδὲ τὴν ἔφεσιν εἰς ταῦτα κατεδαπάνησεν, ἀλλὰ τῶν οὐρανίων ἁψίδων ὑπεραρθεὶς καὶ πᾶσαν διαβὰς τὴν νοητήν τε καὶ ὑπερκόσμιον σύμπηξιν οὐκ ἀπέστη τοῦ ζητουμένου, ἕως οὗ ὁ ποθούμενος ἑαυτὸν αὐτῷ ἐφανέρωσε τύποις τε καὶ μορφώμασιν, οἷς ἑαυτὸν ἐμφανίζει ὁ ἀφανὴς καὶ ἀόρατος. καὶ μετανάστην αὐτὸν ἐκ τῆς πατρίδος λαβὼν ἐπὶ τὴν Χαναντῖιν κατέστησε, τὸν ἐνενηκοστόν που καὶ ἔνατον ἤδη χρόνον παρέλκοντα· καὶ ἄπαιδα μέχρι τότε τυγχάνοντα γεννήτορα τοῦ θαυμασίου καὶ μάκαρος κατέ-